*ΗΛ.* αἰδὼς δὲ δή τίς σ' ἐς Μυκηναίους ἔχει;
*ΕΛ.* δέδοικα πατέρας τῶν ὑπ' Ἰλίῳ νεκρῶν.
*ΗΛ.* δεινὸν γάρ – Ἄργει τ' ἀναβοᾷ διὰ στόμα.
*ΕΛ.* σύ νυν χάριν μοι τὸν φόβον λύσασα δός.
*ΗΛ.* οὐκ ἂν δυναίμην μητρὸς ἐσβλέψαι τάφον.
*ΕΛ.* αἰσχρόν γε μέντοι προσπόλους φέρειν τάδε.
*ΗΛ.* τί δ' οὐχὶ θυγατρὸς Ἑρμιόνης πέμπεις δέμας;
*ΕΛ.* ἐς ὄχλον ἕρπειν παρθένοισιν οὐ καλόν.
*ΗΛ.* καὶ μὴν τίνοι γ' ἂν τῇ τεθνηκυίᾳ τροφάς.

*ΕΛ.* ὀρθῶς ἔλεξας, πείθομαί τέ σοι, κόρη,
καὶ πέμψομέν γε θυγατέρ'· εὖ γάρ τοι λέγεις.

ὦ τέκνον, ἔξελθ', Ἑρμιόνη, δόμων πάρος
καὶ λαβὲ χοὰς τάσδ' ἐν χεροῖν κόμας τ' ἐμάς·
ἐλθοῦσα δ' ἀμφὶ τὸν Κλυταιμήστρας τάφον
μελίκρατ' ἄφες γάλακτος οἰνωπόν τ' ἄχνην,
καὶ στᾶσ' ἐπ' ἄκρου χώματος λέξον τάδε·
„Ἑλένη σ' ἀδελφὴ ταῖσδε δωρεῖται χοαῖς,
φόβῳ προσελθεῖν μνῆμα σόν, ταρβοῦσά τε
Ἀργεῖον ὄχλον." πρευμενῆ δ' ἄνωγέ νιν
ἐμοί τε καὶ σοὶ καὶ πόσει γνώμην ἔχειν –
τοῖν τ' ἀθλίοιν τοῖνδ', οὓς ἀπώλεσεν θεός.